ποσσὶν ὑφαρπάζων νίκας κλάδον, ἄκρα δ᾽ ἐπ᾽ αὐτᾶς
 βαθμῖδος προπεσὼν κέκλιται ἀστράγαλος;
ἦ ῥά γε νικάεντα μάχᾳ σκαπτοῦχον ἄνακτα
 κρύπτεις; ἀλλὰ τί σοι παίγνιον ἀστράγαλος;
πρὸς δ᾽ ἔτι λιτὸς ὁ τύμβος· ἐπιπρέπει ἀνδρὶ πενιχρῷ
 ὄρνιθος κλαγγαῖς νυκτὸς ἀνεγρομένῳ.
οὐ δοκέω, σκάπτρον γὰρ ἀναίνεται· ἀλλὰ σὺ κεύθεις
 ἀθλοφόρον νίκαν ποσσὶν ἀειράμενον;
οὐ ψαύω καὶ τᾶδε· τί γὰρ ταχὺς εἴκελος ἀνήρ
 ἀστραγάλῳ; νῦν δὴ τὠτρεκὲς ἐφρασάμαν·
φοῖνιξ οὐ νίκαν ἐνέπει, πάτραν δὲ μεγαυχῆ
 ματέρα Φοινίκων τὰν πολύπαιδα Τύρον·
ὄρνις δ᾽ ὅττι γεγωνὸς ἀνὴρ καί που περὶ Κύπριν
 πρᾶτος κἠν Μούσαις ποικίλος ὑμνοθέτας·
σκᾶπτρα δ᾽ ἔχει σύνθημα λόγου, θνᾴσκειν δὲ πεσόντα
 οἰνοβρεχῆ προπετὴς ἐννέπει ἀστράγαλος.
καὶ δὴ σύμβολα ταῦτα· τὸ δ᾽ οὔνομα πέτρος ἀείδει,
 Ἀντίπατρον προγόνων φύντ᾽ ἀπ᾽ ἐρισθενέων.

## CXXIII

οὐ γάμον ἀλλ᾽ Ἀίδαν ἐπινυμφίδιον Κλεαρίστα
 δέξατο παρθενίας ἅμματα λυομένα.
ἄρτι γὰρ ἑσπέριοι νύμφας ἐπὶ δικλίσιν ἄχευν
 λωτοί, καὶ θαλάμων ἐπλαταγεῦντο θύραι.
ἀῷοι δ᾽ ὀλολυγμὸν ἀνέκραγον, ἐκ δ᾽ Ὑμέναιος
 σιγαθεὶς γοερὸν φθέγμα μεθαρμόσατο.